appetunt ipsa. Vtrique enim inueniunt ea, quorum indigent. Etenim possessio est, quam appetunt studiosi pecuniæ, & honorem habet, quem studiosi honoris. Corporis virtus est sanitas, eáque sic, vt morbi expertes sint, qui habeant vsum corporum. Multi enim sani sunt, vt Herodicus dicitur, quem nemo felicem dixerit caussa sanitatis, propter omnium abstinentiam humanorum, aut plurimorum. Pulchritudo diuersa est in vnaquaque ætate. Ac iuuenis quidem pulchritudo est, si ad labores vtile habeat corpus, & ad cursum, & ad vim, cùm iucundus sit visu ad voluptatem. Quamobrem quinquertiones pulcherrimi sunt, quòd ad vim, & ad velocitatem simul nati sunt. Vigentis verò, si ad labores bellicos, ac iucundus esse videatur cum terrore. At senis, si ad labores necessarios sit idoneus, atque indolens, quòd nihil habeat eorum, quibus senectus offenditur. Robur est facultas mouendi alterum, vt vult. Necesse autem est mouere alterum, vel trahendo, vel pellendo, vel tollendo, vel deprimendo, vel collidendo, ita vt robustus, vel omnibus, vel horum aliquibus robustus sit. Magnitudinis virtus est, superare longitudine, vel profunditate, vel latitudine multos, tanto magis, vt ne tardiores efficiat motiones propter exuperantiam. Certandi virtus corporis constat ex magnitudine, & robore & velocitate. Etenim velox robustus est. Nam qui potest crura proiicere quodammodo & mouere & velociter, & longè, cursor est. Qui verò stringere, & tenere, luctator. At qui pellere plaga, pugil. Qui autem vtrisque his, pancratiasticus. Verùm, qui omnibus his, quinquertio. Bona senectus est, tarditas senectutis cum indolentia. Neque enim si velociter senescat, bonam senectutem habet, neque si vix quidem, sed dolenter. Est verò & ex iis, quæ sunt corporis, virtutibus, & ex iis, quæ fortunæ. Nam qui expers morbi non sit, neque robustus, non erit perturbationis expers. Neque indolens etiam erit longæuus. Nec sine fortuna durare poterit. Est verò quædam etiam separatim à robore, & sanitate alia facultas diu viuendi: multi enim sine corporis virtutibus diu viuunt. Verùm diligens disputatio de his non est vtilis ad ea, quæ nunc disputamus. Multorum amicitia, & bonorum amicitia non sunt incerta, amico definito, vt sit eiusmodi amicus, quicunque quę arbitratur bona esse illi, effector est ipsorum propter illum. Iam, cui multi sunt tales,

A τιμοι ἐφίενται αὐτῆς. ἀμφοτέροις γὰρ ἔχει ὧν δέονται· καὶ γὰρ κτῆμά ἐστιν, οὗ ἐφίενται οἱ φιλοχρήματοι· καὶ τιμὴν ἔχει, οὗ οἱ φιλότιμοι. σώματος δ' ἀρετή, ὑγίεια· αὕτη δὲ οὕτως, ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασι· πολλοὶ γὰρ ὑγιαίνουσιν, ὥσπερ Ἡρόδικος λέγεται. οὓς οὐδεὶς ἂν εὐδαιμονίσειε τῆς ὑγιείας, διὰ τὸ πάντων ἀπέχεσθαι τῶν ἀνθρωπίνων, ἢ τῶν

B πλείστων. κάλλος δὲ, ἕτερον καθ' ἑκάστην ἡλικίαν ἐστί. νέου μὲν οὖν κάλλος, τὸ πρὸς τοὺς πόνους χρήσιμον ἔχειν τὸ σῶμα, τούς τε πρὸς δρόμον, καὶ πρὸς βίαν, ἡδὺν ὄντα ἰδεῖν πρὸς ἀπόλαυσιν· διὸ οἱ πένταθλοι, κάλλιστοι, ὅτι πρὸς βίαν καὶ πρὸς τάχος ἅμα πεφύκασιν· ἀκμάζοντος δὲ, πρὸς μὲν πόνους τοὺς πολεμικούς, ἡδὺν δὲ εἶναι δοκεῖν μετὰ φοβερότητος· γέροντος δὲ, πρὸς μὲν πόνους τοὺς ἀναγκαίους

C ἱκανόν, ἄλυπον δὲ, διὰ τὸ μηδὲν ἔχειν ὧν τὸ γῆρας λωβᾶται. ἰσχὺς δέ, ἐστι μὲν δύναμις τοῦ κινεῖν ἕτερον, ὡς βούλεται· ἀνάγκη δὲ κινεῖν ἕτερον, ἢ ἕλκοντα, ἢ ὠθοῦντα, ἢ αἴροντα, ἢ πιέζοντα, ἢ συνθλίβοντα· ὥστε ὁ ἰσχυρὸς, ἢ πᾶσιν, ἢ τούτων τισίν ἐστιν ἰσχυρός. μεγέθους δὲ ἀρετή, τὸ ὑπερέχειν κατὰ τὸ μῆκος, καὶ βάθος, καὶ πλάτος τῶν πολλῶν τοσούτῳ

D μείζονι, ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. ἀγωνιστικὴ δὲ τοῦ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους, καὶ ἰσχύος, καὶ τάχους· καὶ γὰρ ὁ ταχὺς, ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως, καὶ κινεῖν ταχὺ, καὶ πόρρω, δρομικός. ὁ δὲ θλίβειν, καὶ κατέχειν, παλαιστικός. ὁ δὲ ὦσαι τῇ πληγῇ, πυκτικός. ὁ δ' ἀμφοτέροις τούτοις, παγ-

E κρατιαστικός. ὁ δὲ πᾶσι, πένταθλος. εὐγηρία δὲ, ἐστι βραδυτὴς γήρως μετ' ἀλυπίας· οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὔγηρως· οὔτ' εἰ μόγις μὲν, λυπηρῶς δέ· ἔστι δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν, καὶ τύχης· μὴ ἄνοσος γὰρ ὤν, μηδὲ ἰσχυρός, οὐκ ἔσται ἀπαθής, οὐδ' ἄλυπος καὶ πολυχρόνιος, οὔτ' ἂν εὐτυχὴς διαμείνειεν· ἀλλ' ἔστι δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας, ἄλλη

F δύναμις μακροβιότητος. πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν, μακρόβιοί εἰσιν. ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν. πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα, τοῦ φίλου ὡρισμένου, ὅτι ἐστὶν ὁ τοιοῦτος φίλος, ὅστις ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον. ᾧ δὴ πολλοὶ τοιοῦτοι,

πολύ-